# ΚΩΝΣΤΑΝΤΙΝΟΥ

## ΓΟΡΔΑΤΟΥ ΧΙΟΥ

## Περὶ τῆς τῶν Σφαιρῶν χρήσεως.

### ΠΡΟΟΙΜΙΟΝ.

Καὶ πάντα μὲν ὅσα ἡμῖν οἱ ἀρχαῖοι δι' ἐπιστήμης, καὶ εἰδήσεως ἀκριβοῦς, τὴν γνῶσιν τῶν ὄντων σαφέσιν εἰκόσι διατρανοῦντες, εὖ μάλα παρέδωκαν, θαύματος πεφύκασιν ἄξια, καὶ νοὸς ὡς ἄν τις εἴποι τὸν ποιητὴν τῶν ὅλων, καὶ διοικητὴν μεμιμημένα χρήματα. Ὑπερανέστηκε δὲ πολὺ τῶν ἄλλων ἁπάντων ἡ τῶν σφαιρῶν κατασκευή τε, καὶ χρῆσις. ἐν γὰρ μικροῖς ὄγκοις αὐταῖς, ἡ τοῦ θείου ὅλου τεχνουργήματος σύστασις ἁρμοστέπως κατοπτριζομένη, οὐ μόνον διὰ τοῦ σφαιρικοῦ σχήματος τὴν πρὸς τὸ οὐράνιον σῶμα τῆς γῆς σχέσιν, καὶ αὐτοῦ τούτου πρὸς ἑαυτὸ παρίστησιν, ἀλλὰ καὶ οὕσπερ οἱ τὰ τοιαῦτα πραγματευόμενοι ἐπινενοήκασι κύκλους πρὸς τὴν τῶν φαινομένων ἐξήγησιν, πάθη τε ἀστέρων πρὸς ἄλληλα, καὶ πρὸς Γῆν αὐτήν, κλίσεις τε, καὶ ἀναβάσεις, Ἡλίου τε. καὶ τῶν ἄλλων κινήσεις, τάς τε διὰ μέσου τῶν Ζωδίων, καὶ τὰς ἑκατέρωθεν κατὰ πλάτος τοῦ Ζωδιακοῦ γιγνομένας, ἀριδήλως διασαφεῖ. Γῆς τε τῶν Ζωνῶν πρὸς ἀλλήλας σχέσεις, καὶ ἀνθρώπων πρὸς ἄλλους πάθη διάφορα, Θαλασσῶν τε, καὶ τοῦ ἐκ-



ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

τοὺς Ὠκεανοῦ μεγέθη, Ποταμῶν εἰσροὰς, Νήσων περικλύσεις, περιγραφὰς Ἐπαρχιῶν, ὅσον ἀοίκητον, ὅσον τε οἰκούμενον ἐπὶ τῆς Γῆς, καὶ ὅσ' ἄλλα ἡ τοῦ ἀνθρωπίνου νοὸς ἀπληστία τε, καὶ περιεργία, οὐ παύεται ἀνιχνεύουσα ἐξακριβοῦν, διατρανεῖ. Τοιούτων τοίνυν τινῶν ἀγαθῶν τὴν μὲν καθόλου διδασκαλίαν, ἴσα τε εἰς ἕκαστος τῶν κύκλων συμβάλλεται, τίνα τε πρὸς τοὺς λοιποὺς καὶ τὸν ἀρχετύπως νοούμενον λόγον ἔχει, Πρόκλος ἡμῖν μικρῷ συνταγματίῳ, καὶ μετὰ τοῦτον ὁ τοὺς τῶν Ἱεροσολύμων οἴακας ἐγχειρισθεὶς, καὶ ἐς ἄκρον σοφίας ἐληλακὼς, μακαριώτατος Πατριάρχης, κύριος Χρύσανθος διεξοδικώτερον, παρέδοσαν. Τὴν δέγε χρῆσιν τούτων οὐδὲν ἧττον οὖσαν ἀναγκαίαν, ἀλλὰ πολὺ τὸ ξιωοῖσον ἔχουσαν, οὐκ ἔστιν ὃ (ὅσα γ' ἐμὲ εἰδέναι) πραγματεύεται. τοῦ χρόνου καὶ τοῦτο, οἶμαι σὺν πολλοῖς ἄλλοις ἐξαφανίσαντος. ὥς τε πολλοὺς ἄγασθαι μὲν τὰς σφαίρας, τῆς κατασκευῆς τε, καὶ ἀκριβείας, ἀγνοεῖν δ' ὅπῃ χρησίμως ἔχουσιν. Ὅπερ αὐτὸς ἐς νοῦν πολλάκις βαλλόμενος, μάλιστα δὲ καὶ ὑπὸ τῆς τινῶν φιλομαθίας ὁρμηθεὶς, δεῖν ἔγνων ἐν ὀλίγοις τισὶ προβλήμασι, τὴν περὶ τῆς χρήσεως αὐτῶν ἅπασαν διδασκαλίαν, ὡς οἷόν τε μάλα σαφῶς, καὶ συντόμως ἐκθέσθαι. ἐπαναλαβεῖν δ' ἄττα κατ' ἀρχὰς, τῶν παρὰ Πρόκλῳ εἰρημένων δεῖν ἔγνωκα, εἰς ῥᾳοτέραν τῶν ῥηθησομένων κατάληψιν.

Περὶ

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006